*αὑτοῦ λέγων ἢ ἄγνοιαν ἢ φιλοτιμίαν ἢ πρός τινα μαθήματα καὶ λόγους ἀκρασίαν ὡς ὁ Ὀδυσσεύς* (μ 192)

*‘αὐτὰρ ἐμὸν κῆρ*
*ἤθελ᾽ ἀκουέμεναι, λῦσαι δ᾽ ἐκέλευον ἑταίρους*
*ὀφρύσι νευστάζων,’*

*καὶ πάλιν* (ι 228)

*‘ἀλλ᾽ ἐγὼ οὐ πιθόμην — ἦ τ᾽ ἂν πολὺ κέρδιον ἦεν —,*
B *ὄφρ᾽ αὐτόν τε ἴδοιμι, καὶ εἴ μοι ξείνια δοίη.’*

*καὶ ὅλως ὅσαι μὴ παντάπασιν αἰσχραὶ μηδ᾽ ἀγεννεῖς ἁμαρτίαι, παρατιθέμεναι τοῖς ἐπαίνοις τὸν φθόνον ἀφαιροῦσι. πολλοὶ δὲ καὶ πενίας καὶ ἀπορίας καὶ νὴ Δία δυσγενείας ἐξομολόγησιν ἔστιν ὅτε τοῖς ἐγκωμίοις παρεμβάλλοντες ἀμβλυτέρῳ τῷ φθόνῳ χρῶνται. καθάπερ Ἀγαθοκλῆς χρυσᾶ ποτήρια καὶ τορευτὰ τοῖς νέοις προπίνων ἐκέλευσε καὶ κεραμεᾶ κομισθῆναι, καί ‘τοιοῦτόν ἐστιν’ ἔφη ‘τὸ ἐνδελεχὲς καὶ φιλόπονον καὶ ἀνδρεῖον· ἡμεῖς πάλαι ταῦτα, νῦν δ᾽ ἐκεῖνα ποιοῦμεν.’ ἐδόκει γὰρ ἐν κεραμείῳ τεθράφ-*
C *θαι διὰ δυσγένειαν καὶ πενίαν ὁ Ἀγαθοκλῆς, εἶτα συμπάσης ὀλίγου δεῖν ἐβασίλευσε Σικελίας.*

**14.** *Καὶ ταῦτα μὲν ἔξωθεν ἔστιν ἐπεισάγεσθαι φάρμακα τῆς περιαυτολογίας. ἕτερα δ᾽ αὐτοῖς τρόπον τινὰ τοῖς ἐπαινουμένοις ἔνεστιν· οἷς καὶ Κάτων ἐχρῆτο φθονεῖσθαι λέγων, ὅτι τῶν ἰδίων ἀμελεῖ καὶ τὰς νύκτας ἀγρυπνεῖ διὰ τὴν πατρίδα· καὶ τὸ* (Eurip. Philoct. fr. 787)